ΙΔΙΑΤΕΡΟΝ ΠΑΡΑΡΤΗΜΑ ΤΟΥ ΙΑ'. ΠΕΡΙΟΔΙΚΟΥ ΣΥΓΓΡΑΜΜΑΤΟΣ ΜΗΝΟΣ ΝΟΕΜΒΡΙΟΥ
ΤΟΥ ΜΕΓΑΛΟΥ ΣΥΝΑΞΑΡΙΣΤΟΥ

# ΑΚΟΛΟΥΘΙΑ ΚΑΙ ΒΙΟΙ ΤΩΝ ΑΓΙΩΝ

## ΑΠΟΣΤΟΛΟΥ ΦΙΛΙΠΠΟΥ

ΕΝΟΣ ΤΗΣ ΠΡΩΤΗΣ ΧΟΡΕΙΑΣ ΤΩΝ ΔΩΔΕΚΑ

ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ

## ΚΩΝΣΤΑΝΤΙΝΟΥ

Τοῦ ἐκ τῆς περιφήμου νήσου Ὕδρας καὶ τοῦ ἁγίου Νεομάρτυρος

## ΠΑΝΤΕΛΕΗΜΟΝΟΣ

Ἀθλήσαντος ἐν τῇ Νήσῳ Κρήτῃ τῆς ἐπαρχίας Σιτείας.

Διήγησις περὶ τῆς ἁγίας Κάρας τοῦ ἁγίου Ἀποστόλου Φιλίππου. Μαρτύριον τοῦ ἁγίου Νεομάρτυρος Παντελεήμονος. Ἄθλησις τοῦ ἁγίου Νεομάρτυρος Ἀναστασίου. Διήγησις τοῦ ἁγίου Δανιὴλ τοῦ ἐξ Ἰσμαηλιτῶν καὶ ὀπτασία καὶ βίος τοῦ ἁγίου Μητροφάνους ἐπισκόπου Βορονεζίας τοῦ Ρώσσου.

ΕΚΔΟΘΕΙΣΑ ΕΠΙΜΕΛΕΙΑι ΚΑΙ ΔΑΠΑΝΗι

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΧΡ. ΔΟΥΚΑΚΗ

*Προσκυνητοῦ τοῦ ἐκ Καλαμῶν τῆς Πελοποννήσου.*

Ν. 201
ΕΝΤΕΥΘΕΝ... ΒΙΒΛΙΟΘΗΚΗ ... ΠΑΙΣ ΣΤΡΑΤΟΥ
Χ. Κ. Ν.

ΕΝ ΑΘΗΝΑΙΣ
ΤΥΠΟΙΣ ΙΩΑΝΝΟΥ ΝΙΚΟΛΑΙΔΟΥ
1896

# ΑΦΙΕΡΩΣΙΣ
## ΕΙΣ ΤΟΝ ΚΥΡΙΟΝ ΗΜΩΝ ΙΗΣΟΥΝ ΧΡΙΣΤΟΝ




Ὅς τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι.

Μάρκ. Η΄. 24.

# ΙΔΙΑΙΤΕΡΟΝ ΠΑΡΑΡΤΗΜΑ
## ΤΟΥ ΕΝΔΕΚΑΤΟΥ ΠΕΡΙΟΔΙΚΟΥ ΣΥΓΓΡΑΜΜΑΤΟΣ ΜΗΝΟΣ ΝΟΕΜΒΡΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ ΣΥΝΑΞΑΡΙΣΤΟΥ(*)

## ΑΚΟΛΟΥΘΙΑ ΤΩΝ ΑΓΙΩΝ
## ΑΠΟΣΤΟΛΟΥ ΦΙΛΙΠΠΟΥ
ΕΝΟΣ ΤΗΣ ΠΡΩΤΗΣ ΧΟΡΕΙΑΣ ΤΩΝ ΔΩΔΕΚΑ

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ

## ΚΩΝΣΤΑΝΤΙΝΟΥ
ΤΟΥ ΕΚ ΤΗΣ ΠΕΡΙΦΗΜΟΥ ΝΗΣΟΥ ΥΔΡΑΣ

ΚΑΙ ΤΟΥ ΑΓΙΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ

## ΠΑΝΤΕΛΕΗΜΟΝΟΣ
ΑΘΛΗΣΑΝΤΟΣ ΕΝ ΤΗι ΝΗΣΩι ΚΡΗΤΗι ΤΗΣ ΕΠΑΡΧΙΑΣ ΣΙΤΕΙΑΣ

*Ψαλλομένη τῇ δεκάτῃ τετάρτῃ Νοεμβρίου.*

Ἑσπέρας ἐν τῷ μικρῷ ἑσπερινῷ ἱστῶμεν στίχ. ς΄ καὶ ψάλλομεν προσόμοια τοῦ Ἀποστόλου δύο καὶ τῶν ἁγίων ἀνὰ δύο. Τοῦ Ἀποστόλου.

Ἦχος α΄. Τῶν Οὐρανίων Ταγμάτων.

Τῷ σὲ καλοῦντι προθύμως κατηκολούθησας, Φίλιππε θεηγόρε, Ἰησοῦ τῷ Σωτῆρι, ἐγνώκεις ὅτι πάντως αὐτὸς ἐστὶν, ὁ Υἱὸς τοῦ Ἀνάρχου Πατρὸς, ὁ Συναΐδιος Λόγος, ὁ Γεννηθεὶς ἐπ' ἐσχάτων ἐκ Παρθένου Μητρός.

Δεῖξον Χριστὲ τὸν Πατέρα, καὶ ἐξαρκέσει ἡμῖν, ὁ Φίλιππος ἐβόα τῷ αὐτοῦ Διδασκάλῳ, Χριστὸς δὲ ἀντεβόησε πρὸς αὐτὸν, οὐ γινώσκεις με Φίλιππε; ὅτι ἐγὼ τοῦ Πατρός μου καὶ ὁ Πατὴρ, ἐν ἐμοὶ ἐστὶν ἀχώριστος.

Τοῦ ἁγίου Κωνσταντίνου. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες ὑμᾶς.

Τῶν πιστῶν τὰ στίφη ἐν χαρᾷ ἅπαντα συνέλθετε, καὶ Νεομάρτυρος μέλψατε, νέαν πανήγυριν, ἐτησίοις ὕμνοις τῷ Χριστῷ κραυγάζοντες· σοὶ δόξα πρέπει Κύριε ἅπασα, ὅτι ἀνέδειξας, ἐν τοῖς ἄθλοις γενναιότατον Κωνσταντῖνον, χρόνοις ἐν τοῖς ὕστερον.

(*) Τὸ παρὸν παράρτημα εἶναι ἐκτὸς τῆς τάξεως τοῦ Μεγάλου Συναξαριστοῦ καὶ ὁ βουλόμενος νὰ τὸ ἀποκτήσῃ, ἃς προσέλθῃ εἰς τὸν ἐκδότην Κ. Χ. Δουκάκην προσκυνητήν.

Μαρτύρων ἀγλάϊσμα τερπνόν, Κωνσταντῖνε ἔνδοξε, τῆς ἀσεβείας ἀντίπαλε, καὶ θεῖε πρόμαχε τῆς θεοσεβείας, ὑπὲρ ἧς ἠγώνισαι, μὴ παύσῃ τοῦ Κυρίου δεόμενος ὑπὲρ τῶν πόθῳ σου, ἐκτελούντων τὰ μνημόσυνα, στηριχθῆναι ἐν αὐτῇ καὶ σώζεσθαι.

Τοῦ ἁγίου Παντελεήμονος. Ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσιν.

Ἐν ἐσχάτοις διέλαμψας, τοῖς καιροῖς, ὥσπερ ἥλιος, τὰ τῆς γῆς πληρώματα ἐν τοῖς ἄθλοις σου, Παντελεῆμον φωτίζων νῦν, διώκων νοσήματα καὶ παρέχων τοῖς πιστοῖς, ἰαμάτων χαρίσματα, τοῖς ἐν πίστει σε, τὴν πανέορτον μνήμην ἐκτελοῦσι, καὶ τιμῶσι τὴν σορόν σου, τὴν τῶν λειψάνων ἀοίδιμε.

Φωτοβόλοις ἐλλάμψεσι, τῶν θαυμάτων πανένδοξε, καταυγάζεις Κρήτην τε, καὶ Τιπάρινον, Παντελεῆμον Ἑλλάδα τε, τὴν ἐνεγκαμένην σε, φρυκτωρίαις δαδουχεῖς, καὶ πληροῖς τὰ αἰτήματα, τῶν τὴν λάρνακα, τῶν σεπτῶν σου λειψάνων προσιόντων, καὶ τὴν κόνιν λαμβανόντων εἰς ἰατρείαν ἐκ πίστεως. Δόξα τοῦ Ἀποστόλου, ἦχ. πλ. β'.

Ἀπόστολε Χριστοῦ Φίλιππε θεηγόρε, Κῆρυξ τῆς χάριτος διαπρύσιος, καὶ μιμητὴς τοῦ σωτηρίου Πάθους ἐχρηματίσας· αὐτὸν οὖν ἱκέτευε δεόμεθα Πανεύφημε, ἵνα παράσχῃ ἡμῖν ἄφεσιν ἁμαρτιῶν καὶ τὸ μέγα ἔλεος τοῖς ἐκτελοῦσι πόθῳ τὴν σεβασμίαν μνήμην σου.

Ἢ τοῦ ἁγίου Κωνσταντίνου. Δόξα, ἦχος πλ. δ'.

Πῶς ἐξείπω τῆς σῆς καρδίας τὸ μεγαλόψυχον, ἢ πῶς τοὺς ἀθλητικούς σου ἀγῶνας κατ' ἀξίαν εὐφημήσω, Κωνσταντῖνε ἀδαμάντινε; νικῶσι γὰρ λόγους βροτῶν, καὶ τὰς παρ' ἀγγέλων εὐφημίας μόνας ἐκδέχονται· ὁ γὰρ ἐν σώματι τὰς βασάνους, ὡς ἀσώματος καρτερήσας, καὶ παρὰ τῶν ἀσωμάτων δίκαιον εὐφημεῖσθαι· μεθ' ὧν καὶ συναγαλλόμενος εἰς αἰῶνας πρέσβευε ὑπὲρ ἡμῶν τῷ σὲ στεφανώσαντι.

Ἢ τοῦ ἁγίου Παντελεήμονος Δόξα, ἦχος δ'.

Γενναίως ἐν τῇ ἀθλήσει καρτερῶν, ἀθλητὰ Χριστοῦ, Παντελεῆμον νεάθλε, ὑπέφερες ῥαβδισμοὺς καὶ μάστιγας, στρεβλώσεις καὶ κάκωσιν, καὶ θάνατον βίαιον δοξάσας, τὸν σὲ ἀντιδοξάσαντα Κύριον, καὶ τὴν τῶν θαυμάτων ἐνέργειαν βραβεύσαντα, καὶ νῦν συμβασιλεύεις αὐτῷ αἰωνίως ἀοίδιμε· ἀλλὰ μὴ παύσῃ πρεσβεύειν ὑπὲρ ἡμῶν, τῶν τελούντων τὴν μνήμην σου. Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή. Εἰς τὸν στίχ. ἦχος β'. Οἶκος τοῦ Εὐφραθᾶ.

Δεῦτε πάντες πιστοί, προσδράμωμεν ἐν οἴκῳ, τοῦ θείου Ἀποστόλου, αὐτοῦ τὴν θείαν χάραν πιστῶς περιπτυσσόμενοι.

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.

Δεῦτε αἱ στρατιαί, Ἀγγέλων τὸν ἐν ὕλῃ, ὡς ἄϋλον γενναίως τοὺς ἄθλους ὑποστάντα, νῦν Κωνσταντῖνον δέξασθε.



Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ.

Τράπεζαν μυστικήν, προτίθεται τοῖς πᾶσι, Παντελεήμων νέος ἐν τῇ αὐτοῦ ἀθλήσει, δεῦτε πιστοὶ τρυφήσωμεν. Δόξα τριαδικὸν ὅμοιον.

Τριάδα τὴν σεπτήν, Πατέρα, Λόγον, Πνεῦμα, ἐκήρυξεν ὁ νέος μάρτυς Παντελεήμων, ἕνα Θεὸν ἀχώριστον. Καὶ νῦν. Θεοτοκίον ὅμοιον.

Δέσποινα ἀγαθή, πρεσβείαις Κωνσταντίνου, καὶ πάντων τῶν Ἁγίων, τὸν σὸν υἱὸν δυσώπει, σωθῆναι ἡμᾶς ἅπαντας.

Νῦν ἀπολύεις. Τὸ Τρισάγιον, τὰ Ἀπολυτίκια καὶ ἡ Ἀπόλυσις.

Τοῦ Ἀποστόλου, Ἦχος α'.

Ἐκ τῆς πυρίνης αἴγλης τοῦ Θείου Πνεύματος ἐμπνευσθεὶς Ἀπόστολε Φίλιππε, τὴν Οἰκουμένην πᾶσαν κατεφώτισας τοῖς διδάγμασι, καὶ τοῖς λόγῳ μόνῳ θαύμασιν ἐστήριξας, καὶ τῷ σῷ Διδασκάλῳ προσήγαγες, ἣν περίσωζε διὰ παντὸς ἐν εἰρήνῃ, ταῖς πρὸς Θεὸν πρεσβείαις σου, δωρούμενος ἡμῖν τὸ μέγα ἔλεος. Τοῦ ἁγ. Κωνσταν. ἦχ. α'.

Τὸν λαμπρὸν γόνον Ὕδρας καὶ τῆς Ῥόδου τὸ καύχημα, καὶ Νεομαρτύρων τὸ κλέος, Κωνσταντῖνον τιμήσωμεν· ἐν ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, τὴν μνήμην ἐκτελοῦντες τὴν αὐτοῦ, ἵνα λάβωμεν πλουσίαν τὴν ἀμοιβὴν παρὰ Θεοῦ κραυγάζοντες· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ· δόξα τῷ σὲ ἐνισχύσαντι· καὶ ἐν ὑστέροις καιροῖς σὲ στεφανώσαντι.

Δόξα ἦχος ὁ αὐτὸς τοῦ ἁγίου Παντελεήμονος Τῆς ἐρήμου πολίτης.

Τὸν γενναῖον ὁπλίτην καὶ ἀκμαῖον ἀδάμαντα, τὸν καρτερικὸν στρατιώτην, νέον Παντελεήμονα, τιμήσωμεν. Ἐν ὕμνοις καὶ ᾠδαῖς, ἀνδρείως γὰρ ἐκήρυξε Χριστόν, νικητὴς τροπαιοφόρος κατὰ τῆς πλάνης γενόμενος ᾧ βοῶμεν. Δόξα τῷ ἐνισχύσαντι Χριστῷ, δόξα τῷ στεφανώσαντι, δόξα τῷ δωρουμένῳ διὰ σοῦ πᾶσιν ἰάματα.

Καὶ νῦν. Τοῦ Γαβριὴλ φθεγξαμένου.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχ. ι'. Ψάλλομεν προσόμοια τοῦ Ἀποστόλου δ' καὶ τῶν Νεομαρτύρων ἀνὰ γ'.

Τοῦ Ἀποστόλου. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Πρᾶξιν μὲν ἐπίβασιν, εἰλικρινοῦς θεωρίας, θεωρίαν τέλος δέ, φιλοθέου πράξεως Μάκαρ θέμενος, τὸν Χριστὸν ἠξίωσαι, τοῦ πατρὸς τὴν δόξαν, ἀποδεῖξαί σοι τὴν ἄφραστον, καὶ γὰρ ἐφίεται, πᾶσα λογικὴ φύσις ἔνδοξε, Θεοῦ τοῦ ὑποστήσαντος καὶ τοῦ ποθουμένου τετύχηκας, τούτου παραυτίκα, δεξάμενος σφραγίδα τὸν Υἱόν, ἐν παρρησίᾳ δυσώπησον, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Θείαις ἀναβάσεσι, διὰ παντὸς κεχρημένος, ὡς Μωσῆς τὸ πρότερον, τὸν Θεὸν θεάσασθαι ἐπεπόθησας, καὶ γνωστῶς εἶδες δέ, τὴν αὐτοῦ Εἰκόνα δεδεγμένος πρὸς ἐμφέρειαν. Πατρὸς γὰρ σύντομος, γνῶσις ὁ Υἱὸς καὶ ἀπόδειξις. Υἱοῦ δὲ καὶ Γεννήτερος, μία ἡ οὐσία γνωρίζεται, καὶ ἡ διὰ πάν-

των, ταυτότης ἀναφέρεται σεπτῶς, καὶ βασιλεία καὶ δύναμις, δόξα καὶ προσκύνησις. Ἕτερα τοῦ αὐτοῦ. Ἦχ. α΄. Τῶν Οὐρανίων ταγμάτων.

Τὸ θεῖον τέμενος ἔνθα τὸ Σκῆνος πέλει τὸ σόν, ὥσπερ Νειλῷα ῥεῖθρα πλημμυρεῖ ἀεννάως, Φίλιππε παμμάκαρ, καὶ δαψιλῶς οἱ ἐν πίστει προστρέχοντες, ψυχῶν ὁμοῦ καὶ σωμάτων παντοδαπῆ, ἀπαντλοῦσι τὰ ἰάματα.

Κέκτηται μάκαρ ἡ Κύπρος τὴν θείαν Κάραν σου, λαμπρῶς ἐπιτελοῦσα σὴν σεβάσμιον μνήμην, Φίλιππε Θεόφρον καὶ ἐν αὐτῇ, ἐγκαυχωμένη ἀγάλλεται, ὅτι αὐτὴν ἐκ κινδύνων καὶ συμφορῶν ἐκλυτροῦσαι ταῖς πρεσβείαις σου. Ἕτερον τοῦ ἁγ. Κωνστ. ἦχ. δ΄. Ὡς γενναῖον ἐν μάρτυσιν.

Φιλεόρτων συστήματα, πανδημεὶ νῦν συνδράμωμεν, καὶ κοινὴν πανήγυριν συγκροτήσωμεν. Ἰδοὺ γὰρ πάντας ἐκάλεσεν ἡμᾶς εἰς ἑστίασιν, καὶ χαρὰν πνευματικήν, τὸ τῆς Ὕδρας καλλώπισμα, καὶ ἐξαίρετον, ἡμῶν πάντων ἀγλάϊσμα καὶ κλέος, Κωνσταντῖνος ὁ γενναῖος, Νεομαρτύρων τὸ καύχημα.

Ἴδε νέος στερρόψυχος, ἴδε Μάρτυς περίδοξος, ἴδε πῶς ὡς πρόβατον ἡμερώτατον, ὁ Κωνσταντῖνος, παρέδωκεν ἑαυτὸν εἰς θάνατον, δι' ἀγάπην τοῦ Χριστοῦ, καὶ τυθεὶς ἀνελήλυθεν εἰς οὐράνια, ἵνα λάβῃ τῆς νίκης τοὺς στεφάνους, καὶ χορεύῃ σὺν Ἀγγέλοις καὶ σὺν Μαρτύρων στρατεύμασιν.

Ὡς ἀστέρα νεόφυτον, ταῖς ἀκτῖσι τῶν ἄθλων σου Ἐκκλησίαν ἅπασαν καταυγάζοντα· ὡς εὐσεβείας ὑπέρμαχον, ὡς πλάνης ἀντίμαχον, ὡς νοσούντων ἰατρόν, ὡς ἀήττητον Μάρτυρα, καὶ ἀγλάϊσμα γενεᾶς ἡμετέρας, συνελθόντες ἐν ᾀσμάτων μελῳδίαις, σὲ Κωνσταντῖνε γεραίρομεν.

Ἕτερα τοῦ ἁγίου Παντελεήμονος ἦχος α΄. Τῶν Οὐρανίων ταγμάτων.

Δεῦτε πιστοὶ συνελθόντες ἐν τῇ σεπτῇ ἑορτῇ τοῦ νεοάθλου, πόθῳ καὶ θερμῇ προθυμίᾳ, κροτήσωμεν τοῖς ὕμνοις βοῶντες αὐτῷ, Παντελεῆμον νεόαθλε, μὴ διαλείπῃς πρεσβεύειν ὑπὲρ ἡμῶν, τῶν τελούντων σου τὴν μνήμην πιστῶς.

Ἐκ Τιπαρίνου τῆς νήσου τὸ γένος ἕλκων σοφέ, τῆς Κρήτης λαμπρὸς γόνος, ἀνεφύης καὶ τέλος, ἀθλήσεως ἀνύσας ὑπὲρ Χριστοῦ, τὴν Ἑλλάδα ἡγίασας, τοῖς θαύμασι λειψάνου σου τοῦ σεπτοῦ, οἷς παρέχεις τοῖς προσψαύουσιν.

Συνωνυμήσας τῷ πάλαι Παντελεήμονι, νέος ὡσαύτως ὤφθης, ἀθλητὴς κατὰ πάντα, μητρός σου ὑποθήκαις, βασάνους δεινάς, Παντελεῆμον ὑπέμεινας, Ἀγαρηνῶν ἀσεβείας τὴν φλεγμονήν, διελέγξας ἀνδρικώτατα. Δόξα, ἦχος πλ. β΄.

Τοῦ μεγάλου Φίλιππε φωτός, ταῖς ἀστραπαῖς πυρωθείς, παγκοσμίως ἐξέλαμψας φωστήρ· τὸν Πατέρα δὲ τῶν φώτων, ἐν Υἱῷ ζητήσας εὗρες, ἐν τῷ φωτὶ τὸ φῶς γὰρ εὑρίσκεται, καὶ γὰρ οὗτος σφραγὶς ἰσότυπος, δηλῶν τὸ ἀρχέτυπον, ὃν Ἀπόστολε δυσώπει, τοὺς ἐσφραγισμένους τῷ θείῳ περισώζεσθαι Αἵματι. Ἡ τοῦ ἁγ. Κωνσταν. ἦχος ὁ αὐτός.



Σήμερον ἐξέλαμψεν ὡς ἀστὴρ νεοφανής, ἐν τῷ τῆς Ἐκκλησίας στερεώματι, τοῦ Νεομάρτυρος Κωνσταντίνου ἡ σεβάσμιος πανήγυρις, τὰς ψυχὰς τῶν πιστῶν καταυγάζουσα. Δεῦτε οὖν φιλέορτοι πάντες, πνευματικῶς πανηγυρίσωμεν, καὶ τούτῳ χαρμονικῶς προσείπωμεν λέγοντες· χαίροις, ὁ ἐν ἐσχάτοις καιροῖς ὑπὲρ Χριστοῦ μαρτυρήσας στερρότατα· χαίροις, τῆς εὐσεβοῦς πίστεως ἡ ἀνύψωσις, καὶ τῆς πλάνης τῶν Ἀγαρηνῶν ἡ κατάπτωσις· χαίροις τῶν Ὀρθοδόξων ἁπάντων τὸ ἀγαλλίαμα, καὶ λαμπρὸν καύχημα καὶ σεμνολόγημα· καὶ νῦν ἐν Οὐρανοῖς, τῷ θρόνῳ τοῦ Δεσπότου Χριστοῦ, παριστάμενος, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἡ τοῦ ἁγίου Παντελεήμονος. Δόξα, ἦχος ὁ αὐτός.

Ἀγγέλους ἔπεισας καὶ ἀνθρώπους, ἀγάλλεσθαι τοῖς θαυμασίοις σου, καὶ θαυμάζειν τὴν καρτερίαν σου, Παντελεῆμον νεόαθλε· ὡς ἀδάμας γὰρ ἵστασο ἀκλόνητος ἐν ταῖς μάστιξι τῶν ἀνόμων, ἀπειλὰς μὴ πτοηθείς, μηδὲ κολακείαις καὶ ὑποσχέσεσι ματαίων ἀγαθῶν φθειρομένων, πᾶσαν ἀντ' οὐδενὸς θέμενος τὴν ἐπίκηρον εὔκλειαν, ἔσπευσας τῆς ἄνω ἐπιτυχεῖν κληρουχίας, καὶ καρτερήσας μέχρι θανάτου, ἀμαραντίνῳ στέφει σεαυτὸν κατέστεψας. Ὅθεν καὶ ἡμεῖς συνελθόντες, τὴν μνήμην σου ἑορτάζομεν, ὅπως ταῖς πρεσβείαις σου, ῥυσθέντες κινδύνων καὶ θλίψεων, εὕροιμεν παρὰ Χριστοῦ τὸ μέγα ἔλεος. Καὶ νῦν. Θεοτοκίον, ὁ αὐτός.

Τίς μὴ μακαρίσει σε Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱός μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε Σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος. Φῶς ἱλαρόν Τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ ἀναγνώσματα

Καθολικῆς Ἐπιστολῆς Ἰακώβου τὸ Ἀνάγνωσμα. Κεφ. α΄ 1.

Ἀδελφοί μου ἀγαπητοί, πᾶσαν χαρὰν ἡγήσασθε, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις. Γινόσκοντες ὅτι τὸ δοκίμιον ὑμῶν τῆς πίστεως, κατεργάζεται ὑπομονήν, ἡ δὲ ὑπομονὴ ἔργον τέλειον ἐχέτω, ἵνα ἦτε τέλειοι καὶ ὁλόκληροι, ἐν μηδενὶ λειπόμενοι. Εἰ δέ τις ὑμῶν λείπεται σοφίας, αἰτείτω παρὰ τοῦ διδόντος Θεοῦ πᾶσιν ἁπλῶς, καὶ μὴ ὀνειδίζοντος, καὶ δοθήσεται αὐτῷ. Αἰτείτω δὲ ἐν πίστει, μηδὲν διακρινόμενος. Ὁ γὰρ διακρινόμενος, ἔοικε κλύδωνι θαλάσσης ἀνεμιζομένῳ καὶ ῥιπιζομένῳ. Μὴ γὰρ οἰέσθω ὁ ἄνθρωπος ἐκεῖνος, ὅτι λήψεταί τι παρὰ τοῦ Κυρίου. Ἀνὴρ δίψυχος, ἀκατάστατος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ. Καυχάσθω δὲ ὁ

ἀδελφὸς ὁ ταπεινός, ἐν τῷ ὕψει αὐτοῦ, ὁ δὲ πλούσιος ἐν τῇ ταπεινώσει αὐτοῦ, ὅτι ὡς ἄνθος χόρτου παρελεύσεται. Ἀνέτειλε γὰρ ὁ ἥλιος σὺν τῷ καύσωνι, καὶ ἐξήρανε τὸ χόρτον, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε, καὶ ἡ εὐπρέπεια τοῦ προσώπου αὐτοῦ ἀπώλετο· οὕτω καὶ ὁ πλούσιος ἐν ταῖς πορείαις αὐτοῦ μαρανθήσεται. Μακάριος ἀνήρ, ὃς ὑπομένει πειρασμόν, ὅτι δόκιμος γενόμενος λήψεται τὸν Στέφανον τῆς ζωῆς, ὃν ἐπηγγείλατο ὁ Κύριος τοῖς ἀγαπῶσιν αὐτόν. Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητέ μοι, καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ἡμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ. Σοφίας Σολομῶντος τὸ ἀνάγνωσ.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὴν Λιτήν. Στιχηρὰ ἰδιόμελα. Ἦχος α'. τοῦ Ἀποστόλου.

Ο τὴν χάριν τοῦ Πνεύματος δεδεγμένος, ἐν εἴδει πυρὸς Ἀπόστολε, καὶ ἐκλάμψας παγκοσμίως ὡς ἀστὴρ παμφαέστατος, κατηύγασας πάντας τῷ θείῳ σου κηρύγματι· νεκροὺς δὲ ὡς ἐξ ὕπνου ἐξήγειρας, τῇ ἐπικλήσει τοῦ Σωτῆρος Χριστοῦ, καὶ τὸν ἐκτείναντα αὐθάδως τὴν χεῖρα εἰς τὴν ἁγίαν σου κορυφήν, ἀνενέργητον πεποίηκας· προσπίπτοντα δὲ ἐν μετανοίᾳ, ὑγιῆ τοῦτον ἀπέδειξας. Υἱοθετήσας δὲ πάντας διὰ τοῦ θείου βαπτίσματος, καὶ τελέσας τὸν ἀγῶνα τοῦ μαρτυρίου, διὰ βασάνων πολυπλόκων, χαίρων τὴν ψυχήν σου τῷ Θεῷ παραδέδωκας. Αὐτὸν ἱκέτευε Φίλιππε παμμακάριστε, δωρηθῆναι ἡμῖν ἄφεσιν ἁμαρτιῶν καὶ τὸ μέγα ἔλεος. Ἦχος β'.



Οὐράνιος ἀνεδείχθης κρατὴρ τῆς σοφίας. Πνεύματος γὰρ ὤφθης, καταγώγιον τερπνόν, καὶ ὑπέφηνας ἀρετῶν ἐπάλξεις, τοὺς βροτοὺς ἁλιεύσας, τῷ νοητῷ ἀγκίστρῳ τῆς σοφίας Θεοῦ· διὸ δυσωποῦμέν σε Ἀπόστολε Φίλιππε, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Ἦχος γ'.

Τὴν τῶν ἰχθύων ἄγραν, εἰς ἀνθρώπων ἁλιείαν μεταβαλών, τοὺς ἐν βυθῷ ἀπάτης, τῇ σαγήνῃ ἀνέλκων τῇ μυστικῇ, Φίλιππε Ἀπόστολε, ὅλον τὸν Κόσμον ἐζώγρησας, καὶ τῷ Διδασκάλῳ σου Χριστῷ προσήγαγες· διὸ δυσωποῦμέν σε, πρεσβεύειν αὐτῷ ἀπαύστως, σωθῆναι τὰς ψυχὰς ἡμῶν τῶν πιστῶς προστρεχόντων τῇ σκέπῃ σου. Ἦχος δ'.

Τὸν Κήρυκα τῆς Πίστεως, καὶ Ὑπηρέτην τοῦ Θείου Λόγου, Φίλιππον τὸν Ἀπόστολον εὐφημήσωμεν. Οὗτος γὰρ τὴν τῶν θαυμάτων ἐνέργειαν παρ' αὐτοῦ δεξάμενος, ἀπεστάλη εἰς πάντα κόσμον, κηρύσσειν τὴν ἐκ Παρθένου τοῦ Χριστοῦ θείαν σάρκωσιν, τὰ Πάθη καὶ τὴν ταφήν, καὶ τὴν ἔνδοξον Ἀνάστασιν· καὶ χειραγωγῶν τὰ πεπλανημένα ἔθνη ἐν σκότει ὄντα τῆς ἀγνωσίας, εἰς τὴν αὐτοῦ θείαν ἐπίγνωσιν υἱοὺς ἡμέρας ἀπέδειξεν. Ἡμεῖς δὲ πρὸς αὐτὸν ἐκβοήσωμεν· σῶσον ἡμᾶς Πανεύφημε, ταῖς πρὸς τὸν σὸν Διδάσκαλον, εὐπροσδέκτοις πρεσβείαις σου, τοὺς τελοῦντας ἐντίμως, τὴν πανευφρόσυνον θείαν μνήμην σου.

Ἦχος α'. τοῦ ἁγίου νεομ. Κωνσταντίνου.

Ἀγάλλου ἐν Κυρίῳ καὶ κατατέρπου ἡ τῶν πιστῶν Ἐκκλησία, ἐπὶ τῇ ἐτησίῳ μνήμῃ, τοῦ λαμπροῦ τῆς ἀληθείας Νεομάρτυρος Κωνσταντίνου, καὶ εὐχαρίστως τῷ Σωτῆρι ἀνάκραζε· ἐμεγαλύνθη ἡ δόξα σου Κύριε καὶ ὑπερυψώθη σοῦ μόνου τὸ ὑπερύψιστον Ὄνομα, ὅτι ἐν ἀσθενείᾳ σαρκός, τὸν ἰσχυρὸν κατεπάλαισας, καὶ τὴν τούτου ὀφρὺν εἰς γῆν καταβέβληκας· ἀλλ' ὁ τὸν σὸν Ἀθλητὴν καὶ ἐνισχύσας καὶ δοξάσας, ταῖς θείαις αὐτοῦ ἱκεσίαις, καὶ ἡμᾶς ἐνίσχυσον κατὰ τῆς τῶν ἐχθρῶν ἀοράτου δυνάμεως, καὶ νικητὰς ἀναδειχθέντας δόξασον, ἐν τῇ ἀνεκλαλήτῳ δόξῃ τῆς βασιλείας σου. Ἦχος γ'.

Νεομάρτυς Κωνσταντῖνε, ἐπαξίως συνελθόντες ἐκτελοῦμεν τὴν μνήμην σου· σὲ γὰρ οὐκ ἀγαθῶν ἐπαγγελίαι, οὐ βασάνων ἀπειλαί, οὐ μαστίγων ἐπιφοραί, οὐ σπασμοὶ σώματος, οὐχ αἱμάτων ῥύακες τὸ τῆς γῆς φοινίσαντες ἔδαφος, οὐ κάθειρξις χρόνιος, οὐ βαρύτης σιδήρων, οὐ ποδῶν κάκωσις ἐν τῷ ξύλῳ· οὐ λιμός, οὐ θάνατος αὐτός, τῆς τοῦ Χριστοῦ ἀγάπης χωρίσαι ἴσχυσαν· ἀλλὰ πάντως φανεὶς ἀκμαιότερος, τὸν πρώην σὲ πτερνίσαντα ἐπτέρνισας δράκοντα· καὶ νῦν τῶν στεφάνων τῆς νίκης ἀξιωθείς, μετὰ Ἰακώβου, Παγχαρίου καὶ Μείρακος, καὶ πάντων τῶν Ἁγίων πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ'.

Τίς μὴ δοξάσει, τίς μὴ ἀξίως ἐπαινέσει Κωνσταντῖνον Νεομάρτυρα, ὃν ἡ Ἁγία Τριὰς ἐδόξασε; τούτου γὰρ τὸ πρὸς τοὺς ἀσεβοῦντας γενναῖον, ἀποδεξαμένη παράστημα, καὶ τὴν καρτερόψυχον ὁμολογίαν, καὶ τὸ πρὸς τὰς βασάνους ἀπτόητον, θαῦμα παράδοξον ἐνήργησεν, ἐν τῷ καιρῷ τῆς αὐτοῦ ἀθλήσεως, καὶ χαρίσμασι τῶν ἰαμάτων τὸ τούτου κατεκόσμησε Λείψανον. Αἰσχυνέσθωσαν οὖν οἱ λαλοῦντες ἄδικα, εἰς τὸ ὕψος τῆς αὐτοῦ Ἁγιότητος, καὶ στόματα ἐμφραγήτω τῶν ἀντιλεγόντων τῇ ψήφῳ τῆς Παναγίας Τριάδος· παρ' ἧς ταῦτα δικαίοις μέτροις σταθμίζεται, καὶ δωρεῖται τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Ἦχος ὁ αὐτὸς τοῦ Ἁγίου Παντελεήμονος.

Τὸν νοερὸν λαμπτῆρα τῆς πίστεως, καὶ κλεινὸν ἀριστέα Χριστοῦ, καὶ ἀήττητον ἀθλοφόρον, τὸν νεόαθλον Παντελεήμονα, ἐν ᾠδαῖς ᾀσμάτων εὐφημήσωμεν· χαίροις ἀναβοῶντες αὐτῷ· ὅτι τὸν ἀόρατον ἐχθρόν, θωπείαις ὑποσκελίσας βουλόμενον, καὶ τοὺς ὁρατοὺς ἀντιπάλους, βασάνοις ἀφορήτοις τιμωροῦντάς σε ἐνίκησας· χαίροις καρτερόψυχε ὁπλῖτα Χριστοῦ, καὶ τῆς πλάνης ἀσεβῶν καθαιρέτα· ἀληθείας ὑπερασπιστά. Ὅθεν καὶ προστρέχοντες ἐν τῇ σορῷ τῶν λειψάνων σου, τὴν ἴασιν τῶν παθῶν ἡμῶν λαμβάνομεν, καὶ τὸν δοξάσαντά σε Χριστόν, δοξάζομεν εἰς τοὺς αἰῶνας.

Δόξα, ἦχος πλ. δ'. Τοῦ Ἀποστόλου.

Τῶν ἀπορρήτων αὐτόπτης, ὡς μύστης τοῦ Θείου Λόγου, καὶ θεωρὸς τῶν ἀνεξιχνιάστων γενόμενος Ἀπόστολε, τὴν ἐξουσίαν εἴληφας, παρὰ Χριστοῦ, δεσμεῖν τε καὶ λύειν τὰς τῶν ἀνθρώπων ἁμαρτίας, καὶ θεραπεύειν πᾶσαν μαλακίαν, καὶ νόσον καὶ δαίμονας ἐκδιώκειν τῷ σῷ προστάγματι, ὡς ὁ Διδάσκαλος, παρ' οὗ καὶ ἀπεστάλης εἰς τὰ ἔθνη τὰ ἀπολωλότα, ὁδηγῆσαι αὐτά, πρὸς τὴν ἀληθῆ τῆς Ἁγίας Τριάδος λατρείαν. Ὡς οὖν ἔχων παρρησίαν, ἱκέτευε Φίλιππε Θεηγόρε, εὑρεῖν αὐτὸν τὸν Θεάνθρωπον Ἰησοῦν τὸν ἕνα τῆς Τριάδος, ἵλεων, καὶ εὐδιάλλακτον, ἐν τῇ ἡμέρᾳ τῆς δίκης, ὅταν ἐλεύσηται κρῖναι ζῶντας καὶ νεκρούς, Χριστὸν τὸν Θεὸν ἡμῶν, τὸν μόνον πελυέλεον.

Ἢ τοῦ ἁγίου Κωνσταντίνου. Δόξα. Ἦχος πλ. α'.

Δεῦτε φιλομαρτύρων συστήματα, πάνδημον ἑορτήν, καὶ κοινὴν πανήγυριν συγκροτήσωμεν· σήμερον γὰρ ὁ Νεομάρτυς Κωνσταντῖνος, ὑπὲρ τῆς Χριστοῦ ἀγάπης, τὸν δι' ἀγχόνης ἐδέξατο θάνατον, μὴ φεισάμενος ζωῆς, καὶ ἄνθος νεότητος, καὶ τὰ ἐπὶ γῆς καταλιπών, ἀνῆλθεν εἰς οὐρανούς, ἵνα χορεύῃ αἰώνια. Ἡγιάσθη ὁ ἀὴρ ἐν τῇ ἀνόδῳ αὐτοῦ, καὶ οἱ δῆμοι τῶν Ἀγγέλων καὶ τῶν Μαρτύρων ἐκρότησαν νῦν τὸ πνεῦμα τούτου ὑποδεξάμενοι· ἁγιασμοῦ δὲ καὶ ἡμεῖς οἱ ἐπὶ γῆς μετασχόντες, ἐν τῇ πανιέρῳ αὐτοῦ πανηγύρει καὶ Θεὸν δοξάσωμεν, τὸν οὕτω γενέσθαι εἰς ἡμῶν σωτηρίαν εὐδοκήσαντα.



Ἢ τοῦ ἁγίου Παντελεήμονος. Δόξα. Ἦχος δ'.

Τὴν ἐτήσιον μνήμην ἄγοντες, τῆς σῆς ἐνδόξου ἀθλήσεως, Παντελεῆμον παναοίδιμε, τοὺς σεπτούς σου ἀγῶνας γεραίρομεν, Χριστὸν τὸν Θεὸν δοξάζοντες, τὸν ἐν θαύμασι ποικίλοις σε δοξάσαντα, πρέσβυν σε προβαλλόμενοι, πρὸς αὐτὸν ἀνεπαίσχυντον, τοῦ ῥυσθῆναι ἐκ παντοίων πειρασμῶν καὶ νόσων πολυτρόπων· διὰ σοῦ παναοίδιμε· οὗ ταῖς πρεσβείαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον. Ἐκ παντοίων κινδύνων.

Εἰς τὸν στίχον στιχηρὰ προσόμοια. Ἦχ. πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος, ὁ τοὺς ἰχθύας ποτέ, σαγηνεύων Ἀπόστολος, τῶν ἀνθρώπων γέγονεν, ἁλιεὺς θεοπρόβλητος, λόγων σαγήνῃ, ἔθνη ἐζώγρησε, Σταυροῦ ἀγκίστρῳ, Κόσμον ἀνείλκυσεν· ὢ οἷον θήραμα, τῷ Χριστῷ προσήγαγεν ὁ θεουργός, οὗπερ τὸ μνημόσυνον νῦν ἑορτάζομεν.

Στίχ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει.

Χαίροις γενναῖε Μάρτυς Χριστοῦ, τῆς εὐσεβείας ἀθλητὴς ὁ ἀήττητος· τῆς πλάνης καὶ ἀσεβείας, Ἀγαρηνῶν ὁ πρηστήρ, τῶν πιστῶν ἁπάντων τὸ ἐκνίκημα, ἀπίστων τὸ ἥττημα, τῶν Ἀγγέλων τὸ ἥδυσμα, καὶ τῶν δαιμόνων ἡ πικρία ἡ ἄπαυστος, ἡ κατάργησις τοῦ Σατᾶν καὶ ἀπώλεια· θέατρον ὁ γενόμενος ἡδύ τε καὶ χάριεν, βροτοῖς ὁμοῦ καὶ Ἀγγέλοις ἐν τῇ γενναίᾳ ἀθλήσει σου, Χριστὸν ἐκδυσώπει Κωνσταντῖνε ὑπὲρ πάντων τῶν εὐφημούντων σε.

Τοῦ ἁγίου Παντελεήμονος. Ἦχος δ'. Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Ὅρμον πρὸς ἀκύμαντον, καὶ πρὸς ζωὴν ἀστασίαστον, καὶ λιμένα πανεύδιον, μάρτυς προσεχώρησας, νῦν Παντελεῆμον, ἔνθα ἀθλοφόρων, χορὸς αὐλίζεται λαμπρῶς, σὺν ἀσωμάτοις ἀγαλλιώμενος, τῶν πόνων τὴν ἀντίδοσιν, καὶ τῶν ἀγώνων τὰ ἔπαθλα, πρὸς Χριστοῦ κομισάμενος ὑπὲρ πάντων δεόμενος.

Δόξα, ἦχος β'. τοῦ Ἀποστόλου.

Καταλιπὼν τὰ ἐπὶ γῆς, ἠκολούθησας Χριστῷ, καὶ σφραγισθείς, τῷ ἐμφυσήματι τοῦ Ἁγίου Πνεύματος, ἀπεστάλης ὑπ' αὐτοῦ εἰς τὰ ἔθνη τὰ ἀπολωλότα, ἐπιστρέφειν τοὺς ἀνθρώπους, εἰς φῶς θεογνωσίας Φίλιππε Ἀπόστολε· καὶ τελέσας τὸν ἀγῶνα τοῦ θείου σου πόθου, διὰ βασάνων πολυπλόκων, τὴν ψυχήν σου τῷ Θεῷ παρέδωκας· αὐτὸν ἱκέτευε παμμακάριστε, δωρηθῆναι ἡμῖν τὸν μέγα ἔλεος.

Ἢ τοῦ ἁγίου Κωνσταντίνου, ἦχος πλ α'.

Δεῦτε πάντες πιστοί, ἐν τῇ μνήμῃ συνελθόντες τοῦ Νεομάρτυρος Κωνσταντίνου, τοὺς ἀγῶνας τε καὶ ἄθλους αὐτοῦ, ἐν ᾠδαῖς ᾀσμάτων κατὰ χρέος εὐφημήσωμεν, ὡς γέγραπται· ᾄσωμεν νῦν ᾆσμα καινὸν ἐν τῇ κοινῇ ἀθλήσει αὐτοῦ· ἡ γὰρ παρ' ἡμῶν πρὸς τοῦτον τιμή, ἀπόδειξιν ἔχει τὴν πρὸς τὸν κοινὸν Δεσπότην Θεάνθρωπον τὸν Θεὸν ἡμῶν, ὃς

τῶν αὐτῶν ἐκείνων ἀξιώσει μισθῶν, ἡμᾶς τοὺς τὸν αὐτοῦ Μάρτυρα τιμῶντας, ὡς ἀγαθός, καὶ φιλάνθρωπος.

Ἦ τοῦ ἁγίου Παντελεήμονος, ἦχος πλ. α'.

Χαρμονικῶς φιλέορτοι πανηγυρίσωμεν· ἰδοὺ γὰρ ἡ ὑπέρλαμπρος μνήμη τοῦ ἀθλητοῦ νεομάρτυρος Παντελεήμονος, καταυγάζει τὴν Ἐκκλησίαν· δεῦτε ἀρυσώμεθα χάριν καὶ ἔλεος, ἐκ τῆς σοροῦ τῶν σεπτῶν αὐτοῦ λειψάνων· πηροῖς γὰρ ἀνάβλεψιν, χωλοῖς εὐδρομίαν, παρειμένοις εὐτονίαν χαρίζεται, πυρέσσουσιν εὐρωστίαν ἐπιβραβεύεται, καὶ τοῖς ἀθυμοῦσιν εὐθυμίαν δαψιλεύει, καὶ πρὸς αὐτὸν ἐκβοήσωμεν· χαίροις ὁπλῖτα ἀλκιμώτατε, ὁ τὴν ὀφρὺν τοῦ Βελίαρ εἰς τέλος τροπωσάμενος, καὶ τὰ βραβεῖα τῆς νίκης ἐπαξίως κομισάμενος· διὸ πολύαθλε μὴ παύσῃ πρεσβεύειν ὑπὲρ τῶν ἐκτελούντων τὴν εὔσημον μνήμην σου.

Καὶ νυν. Θεοτοκίον. Μακαρίζομέν σε.

Τὰ ἀπολυτίκια ὅρα εἰς τὸν μικρὸν Ἑσπερινὸν σελ. 3 τοῦ ἰδίου βιβλίου. Ἡ εὐλόγησις τῶν ἄρτων· καὶ τίθεται ἡ ἀνάγνωσις· τοῦ Ἀποστόλου Φιλίππου· ὅρα εἰς τὴν σελ. 355 τοῦ ἡμετέρου βιβλίου Ὑάκινθος τοῦ μηνὸς Νοεμβρίου 14. Τοῦ δὲ ἁγίου Κωνσταντίνου σελ. 363 τοῦ ἰδίου βιβλίου. Τοῦ δὲ ἁγίου Παντελεήμονος (ὅρα εἰς τὸ τέλος τῆς ἀκολουθίας.)

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Τὸ Θεός, Κύριος· καὶ τὰ ἀπολυτίκια τροπάρια. Μετὰ δὲ τὴν α'. στιχολογίαν Κάθισμα ἦχος δ'. Κατεπλάγη Ἰωσήφ. Τοῦ Ἀποστόλου.

Τοῦ Χριστοῦ τὸν μαθητὴν πάντες ὑμνήσωμεν πιστοί· ὅτι ἐφώτισεν ἡμᾶς, θείοις διδάγμασιν αὐτοῦ, καὶ πρὸς ἐπίγνωσιν θείαν ὡδήγησε, Κυρίου συνεργοῦντος τοῖς θαύμασι, τὴν χάριν δαψιλῶς ἡμῖν ἐβράβευσεν, ἣν παρ' αὐτοῦ ἐδέξατο, ἀμέσως τοῦ ἐκ Παρθένου ἐκλάμψαντος, πρὸς ὃν βοῶμεν, Φίλιππε μάκαρ, πρέσβευε τοῦ σωθῆναι ἡμᾶς.

Δόξα ἦχος α'. Τὸ τάφον Σου Σωτὴρ Τοῦ ἁγίου Κωνσταντίνου.

Ὡς Ἥλιος λαμπρός, ὡς φαιδρὸς Ἑωσφόρος, ἡ μνήμη σου στερρὲ Κωνσταντῖνε ἐπέστη, ἡμῖν τοῖς εὐφημοῦσί σε, καὶ εἰς αἴνεσιν ἤγειρε, τοῦ νευρώσαντος, Σὲ ἐν τοῖς ἄλλοις παμμάκαρ, καὶ δοξάσαντος, ἔν τε τῇ γῇ, καὶ ἐν πόλει Χριστοῦ παναοίδιμε. Καὶ νῦν. Θεοτοκίον.

Παρθένος ἀληθῶς, πρὸ τοῦ τόκου Παρθένε· Παρθένος ἀληθῶς, ἐν τῷ τόκῳ Παρθένε· Παρθένος ἀειπάρθενε, μετὰ τόκον διέμεινας ὅθεν δέομαι, ὡς κορωνὶς τῶν παρθένων, παρθενεύειν με, νοΐ ψυχῇ σώματί τε Παρθένε ἐνίσχυσον.

Μετὰ δὲ τὴν β'. στοιχολογίαν, κάθισμα ἦχος α'. Τὸν τάφου Σου Σωτήρ.

Ἀπόστολε σοφέ, παρεστὼς τῷ Κυρίῳ, ἱκέτευε λαβεῖν Φίλιππε θεηγόρε, ἁπάντας τοὺς γεραίροντας, καὶ τιμῶντας τὴν μνήμην σου, χάριν ἔλεος, καὶ ἱλασμὸν τῶν πταισμάτων, καὶ εὑρεῖν ἡμᾶς, ἐν τῇ ἡμέρᾳ τῆς δίκης, Χριστὸν εὐδιάλλακτον.



Ἕτερον τοῦ ἁγίου Κωνσταντίνου, ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Ἐξεπλάγη ὁ δεινός, τῆς ἀσεβείας ἡγεμών, Κωνσταντῖνε ἀθλητά, σοῦ παρρησίαν τὴν πολλήν, καὶ μεμηνὼς ἀνεκραύγαζε τοῖς παροῦσι, μαστίζετε δεινῶς καὶ λακτίζετε, τὰς σάρκας τε αὐτοῦ καταξέετε· καὶ τῇ εἱρκτῇ ἐγκλείσατε, βαρείαις περιβαλόντες ἁλύσεσι· σὺ δὲ ἐγέλας, θυμῷ τῷ τούτου, καὶ τὸ μνήσθητι ἔκραζες.

Δόξα πλ. γ'. Τὴν ὡραιότητα.

Ὁ τῆς ἀνδρείας σου, καὶ γενναιότητος, μάρτυς νεόαθλε, ὅτι ὑπέμεινας, πολλὰς βασάνους, ῥαβδισμοὺς καὶ θάνατον ἐπώδυνον· καὶ Χριστὸν ἐκήρυξας, τῶν τυράννων ἐνώπιον· ὅθεν καὶ τὸν στέφανον παρ' αὐτοῦ ἐναπείληφας· διὸ Παντελεῆμον τελοῦμέν σου, πίστει τὴν μνήμην ἀθλοφόρε.

Καὶ νῦν. Θεοτοκίον. Τὴν ὡραιότητα.

Μετὰ τὸν πολυέλεον, κάθισμα, ἦχος γ'. Τὴν ὡραιότητα τῆς παρθενίας σου.

Τῷ Διδασκάλῳ σου Χριστῷ Πανεύφημε, κατηκολούθησας προθύμως Φίλιππε, καὶ ἐπλουτίσθης ὑπ' αὐτοῦ, τῷ θείῳ ἐμφυσήματι, χάριτος τοῦ Πνεύματος, ἀπεστάλης δ' εἰς ἅπαντα, ἔθνη ἐπιστρέφειν τε πρὸς τὴν θείαν ἐπίγνωσιν, Χριστὸν ἀδιαλείπτως ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τοῦ ἁγίου Κωνσταντίοου πλ. δ'. Τὴν σοφίαν καὶ λόγον ἐν σῇ γαστρί.

Πτερνισθεὶς δι' ἀπάτης τοῦ πτερνιστοῦ, ἐξηρνήσω τὸ ὄνομα τοῦ Χριστοῦ· ὅθεν οὐ διέλειπες, στένων κλαίων ἀοίδιμε, καὶ μετανοίας ἔργοις Θεοῦ ἀλλοιούμενος, οὗπερ τῇ δυνάμει, φραξάμενος Ἔνδοξε, τῷ ἐχθρῷ σου πάλην, ἐν ἀθλήσει συμπλέκεις, καὶ τοῦτον νενίκηκας, καὶ ἀγχόνῃ σου ἔπνιξας Κωνσταντῖνε στερρόψυχε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν πάνσεπτον μνήμην σου.

Δόξα ἦχος δ'. τοῦ ἁγίου Παντελεῆμος. Ἐπεφάνης σήμερον.

Τοὺς πιστῶς τελοῦντάς σου τὴν θείαν μνήμην, καὶ λειψάνων θήκην σου, ἀσπαζομένους εὐλαβῶς, νόσων παντοίων ἀπάλλαξον. Παντελεῆμον, μαρτύρων ἀγλάϊσμα. Καὶ νῦν. Θεοτοκίον ὅμοιον.

Ἐν τῇ θείᾳ σκέπῃ σου, παρθενομῆτορ, πάντας ἡμᾶς σκέπασον, τοὺς πεποιθότας ἐπὶ σοί, καὶ ἐκτενῶς ἀνακράζοντας· χαῖρε Παρθένε χριστιανῶν τὸ καύχημα.

Οἱ ἀναβαθμοί προκείμενον ἦχος δ'. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ. Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται. Πᾶσα πνοή. Εὐαγγέλιον τῇ Παρασκευῇ τῆς ς' Ἑβδομάδος. Ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· μὴ ταρασσέτθω ὑμῶν ἡ καρδία κτλ.

Ἢ Μαρτυρικὸν τοῦ ἁγίου Δημητρίου. Ὁ Ν'. Δόξα ταῖς τοῦ Ἀποστόλου ἢ ταῖς τῶν Ἀθλοφόρων. Καὶ νῦν ταῖς τῆς Θεοτόκου. Στίχ, Ἐλέησόν με ὁ Θεός. Ἦχος πλ. β'.

Ἀπόστολε τοῦ Χριστοῦ Φίλιππε θεηγόρε, κήρυξ τῆς χάριτος διαπρύσιος, καὶ μιμητὴς τοῦ σωτηρίου Πάθους ἐχρημάτισας· αὐτὸν οὖν ἱκέτευε

δεόμεθα Πανεύφημε, ἵνα παράσχῃ ἡμῖν ἄφεσιν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος, τοῖς ἐκτελοῦσι πόθῳ τὴν σεβάσμιον μνήμην σου.

Ἦ τοῦ Νεομάρτυρος Κωνσταντίνου, ἦχος ὁ αὐτός.

Σήμερον ὁ Νεομάρτυς Κωνσταντῖνος, ὡς ἐκ δύο ἐναντίων συγκείμενος, διὰ βασάνων πολυτρόπων, καὶ διὰ Χριστὸν ἀγχόνῃ, εἰς δύο τόπους ἐναντίους μερίζεται· καὶ τῷ μὲν πνεύματι εἰς οὐρανοὺς ἀνελθών, τοῖς μακαρίοις πνεύμασι συναγάλλεται, τῷ δὲ σώματι μένων ἐπὶ γῆς, μεθ' ἡμῶν τῶν τῆς σαρκὸς δεσμίων, τὰς ψυχὰς καὶ τὰ σώματα κατευφραίνει· καὶ δι' ἀμφοτέρων κοινὴν ἑορτὴν σήμερον συγκροτεῖ οὐράνιον καὶ ἐπίγειον· ἀλλ' ὦ Νέε τοῦ Χριστοῦ Ἀθλητά, καὶ τῶν τιμώντων σε προστάτα θερμότατε, μέμνησο καὶ ἡμῶν, τῶν ἐκ πόθου τελούντων, τὸ ἱερόν σου μνημόσυνον.

Οἱ Κανόνες τῆς Θεοτόκου, μετὰ τῶν Εἱρμῶν, τοῦ Ἀποστόλου, εἰς δ'. τοῦ ἁγίου Κωνσταντίου, εἰς δ'. καὶ τοῦ ἁγίου Παντελεήμονος, εἰς δ'. τῆς Θεοτόκου.
Ἦχος πλ. δ'. Ὠδὴ α'. Ὁ Εἱρμός.

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν Αἰγυπτίαν μοχθηρίαν διαφυγών, ὁ Ἰσραηλίτης ἀνεβόα· τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

Κανὼν τοῦ Ἀποστόλου Θεοφάνους. Ὠδὴ α'. ἦχος πλ. β'. Ὡς ἐν ἠπείρῳ πεζεύσαι ὁ Ἰσραήλ.

Ταῖς ὑπερφώτοις ἀκτῖσι τῆς τοῦ Χριστοῦ, θεϊκῆς λαμπρότητος, ἐνηδόμενος τρανῶς, θεοκήρυξ Φίλιππε ταῖ σαῖς, κατὰ μέθεξιν αὐγαῖς ἡμᾶς καταύγασον.

Ὁ τοῦ Πατρός σοι τὴν δόξαν δι' ἑαυτοῦ, ὑποδείξας Φίλιππε, τῷ χορῷ τῶν Μαθητῶν, σὲ Χριστὸς ἐνέταξε τὴν σήν, προγινώσκων ἀρετὴν θεομακάριστε.

Νῦν οὐκ ἐν αἰνίγματι βλέπεις οὐδὲ σκιαῖς, οὐδ' ἐσόπτροις Πάνσοφε, τὴν πηγὴν τῶν ἀγαθῶν, ὀρεκτῶν τὸ ἔσχατον Χριστόν, ἀλλὰ πρόσωπον ὁρᾶς, σαφῶς πρὸς πρόσωπον.

Ἐκλελοιπότων ἀρχόντων ἐκ τῆς φυλῆς, τοῦ Ἰούδα Πάναγνε, ὁ Υἱός σου καὶ Θεός, προελθὼν ἡγούμενος τῆς γῆς, τῶν περάτων ἀληθῶς νῦν ἐβασίλευσεν.

Κανὼν τοῦ ἁγ. Κωνστ. Ἦχ. δ'. Ἀνοίξω τὸ στόμα μου.

Νοός μου τὴν ζόφωσιν, θείῳ φωτὶ καταλάμπρυνον, καὶ χάριν μοι δώρησαι τοῦ λόγου Ἔνδοξε, ὅπως μέλψω σου, τὴν μνήμην Κωνσταντῖνε, καὶ ὕμνοις δοξάσω σου τὴν θείαν ἄθλησιν.

Ἐφάνης πανεύφημε, Ἥλιος ὥσπερ πολύφωτος, τῆς πλάνης σκοτόμαιναν, σκεδάζων Ἔνδοξε, ταῖς τῶν ἄθλων σου ἀκτῖσι Κωνσταντῖνε, καὶ θείαις ἐλλάμψεσι τῶν θαυμασίων σου.

Ὡς ἔαρ εὐφρόσυνον, μέσον χειμῶνος ἀνέτειλεν, ἡμῖν τοῖς τιμῶσί σε, ἡ θεία μνήμη σου, καὶ κατεύφρανες αἰσθήσεις ἡμῶν πάσας, ψυχῆς τε καὶ σώματος ταῖς ἀριστείαις σου.



Ὡς Κάρμηλος πέφυκεν, ἡ κεφαλή σου Θεόνυμφε, καὶ αὐτῆς πλόκιον πορφύραν πέφυκε, καὶ ἐμπέπλησται αὖθις τῆς θείας δρόσου, Σολομὼν ὁ πάνσοφος ὡς ᾀσματίζει σε.

Καὶ τοῦ ἁγίου Παντελεήμονος, ἦχος ὁ αὐτός, οὗ ἡ ἀκροστιχὶς Παντελεήμονα τὸν Πανάγαστον μέλπω. Ὠδὴ α'. ἦχος δ'. Ἰακώβου. Ἀνοίξω τὸ στόμα μου.

Παράσχου μοι, Κύριε τοῦ παναγίου σου Πνεύματος, σταγόνα χαρίσματος, λόγον τοῦ μέλψαι με, τὰ παλαίσματα, καὶ ἄθλα τοῦ γενναίου σου Παντελεήμονος, ὃν σὺ ἐδόξασας.

Ἀσμάτων τὴν σάλπιγγα, ᾀσματικῶς ἀναλάβωμεν, κροτοῦντες ἐν ᾄσματι τὴν ἱερὰν τελετήν, τοῦ τρισμάκαρος νεοάθλου γενναίου, τοῦ Παντελεήμονος σήμερον στέφοντες.

Νοός μου τὴν ζόφωσιν, αὔγασον θείαις πρεσβείαις σου, νεόαθλε ἔνδοξε, τοῦ ἀνυμνῆσαί σου τὰ παλαίσματα, σοφὲ Παντελεῆμον, καὶ τὰ ὑπὲρ πίστεως ἀνδραγαθήματα.

Θεοτοκίον.

Τὸν τόκον σου Δέσποινα, τὸν ὑπὲρ φύσιν δοξάζομεν, καὶ σὲ τὴν πανύμνηστον ὕμνοις γεραίρομεν, καὶ τὸν ἔνδοξον, ᾄσμασιν ἐπαξίοις, νῦν Παντελεήμονα πόθῳ γεραίρομεν.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου. Ὠδὴ γ'. Ὁ Εἱρμός.

Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης τῶν πιστῶν τὸ στήριγμα μόνε φιλάνθρωπε.

Τοῦ Ἀποστόλου οὐκ ἔστιν Ἅγιος ὡς σὺ Κύριε ὁ Θεός μου.

Ὑπάρχων ἔμπλεως φωτός, πρακτικῆς θεωρίας, τῷ φωτὶ τῷ μεγάλῳ γενομένῳ μεθ' ἡμῶν, κατηξιώθης Χριστῷ, λειτουργῆσαι Φίλιππε θεσπέσιε.

Κρηπὶς δογμάτων εὐσεβῶν, ἡ σὴ μυσταγωγία, εὐσεβῶς ἀνεδείχθη, δι' αὐτῆς γὰρ τὸν Υἱόν, ἐπέγνωμεν εὐσεβῶς, ἡνωμένον ὄντα τῷ Γεννήτορι.

Λυχνία γέγονας χρυσῆ, δαδουχῶν τοῖς ἀνθρώποις, τὸ ἀΐδιον φέγγος, καὶ φωτίζων δι' αὐτοῦ, τὴν οἰκουμένην σαφῶς, ἐπιγνώσει Φίλιππε πανάριστε.

Τὴν θείας Κάραν σου πιστῶς, Φίλιππε προσκυνοῦντες, ἰαμάτων τὴν χάριν, ἀπαντλοῦμεν δαψιλῶς· προχέει γὰρ ὡς πηγή, ἀεννάως τοῖς πιστοῖς ἰάματα.

Θεοτοκίον.

Ἐπὶ σοὶ Πάναγνε Σεμνή, πεποιθὼς μὴ ἐκπέσω, τῆς εἰς σὲ προσδοκίας, ἀλλ' ὡς Μήτηρ συμπαθής, τοῦ φιλανθρώπου Θεοῦ, τῶν παγίδων τοῦ ἐχθροῦ με λύτρωσαι.

Τοῦ ἁγ. Κωνσταντ. Τοὺς σοὺς ὑμνολόγους.

Ἀξίως ἐν γῇ καὶ ἐν τῷ πόλῳ σε Μάρτυς ἐδόξασε Χριστός, ὡς τοῦτον προδοξάσαντα, διὰ τοῦ μαρτυρίου σου· τοὺς γὰρ αὐτὸν δοξάζοντας ἀντιδοξάζειν ὑπέσχετο.

Θεοῦ νευρωθεὶς ἐν τῇ δυνάμει, τοὺς πόνους ἡγήσω ὡς τρυφάς, τοὺς δὲ δεσμοὺς τοῦ σώματος, ὡς ῥόδα ἁπαλώτατα, καὶ ὡς ζωὴν αἰώνιον τὸν πολυώδυνον θάνατον.

Λαμπρὰ ἡ παράστασίς σου Μάρτυς, λαμπρὰ καὶ ἡ ἄθλησίς ἐστι, λαμπρόν ἐστι τὸ τέλος σου, λαμπρὰ καὶ τὰ θαυμάσια, ἃ διὰ σοῦ τετέλεκε, τῶν θαυμασίων ὁ Κύριος. Θεοτοκίον.

Οἱ σοὶ ὀφθαλμοὶ παρθενομῆτορ, ἐδείχθησαν ὡς περιστεραί, αἱ λελουμέναι γάλακτι, καὶ λίμναι, ὡς λαμπρόταται, δι' ὧν ἐνεκαρδίωσας Κόρη τῆς δόξης τὸν Κύριον· Ἕτερος τοῦ ἁγ. Παντελεήμ. Τοὺς σοὺς ὑμνολόγους.

Ἐξέλαμψε σήμερον ἡμέρα, θαυμάτων ἀστράπτουσα βολάς, ὥσπερ αἰθὴρ ἀκατάστερος, τοὺς ἱεροὺς ἀγῶνάς σου Παντελεῆμον ἔνδοξε, τοὺς σὲ τιμῶντας αὐγάζουσα.

Λειψάνων σου θήκη ἀθλοφόρε, ἰάσεις προχέει δαψιλεῖς τοῖς κατασπαζομένοις τε, αὐτὰ καὶ μετὰ πόθου νῦν, καλοῦσί σου τὸ ὄνομα, Παντελεῆμον νεόαθλε.

Ἐξέπληξας μάρτυς τοὺς τυράννους, κηρύξας τὴν δύναμιν Χριστοῦ, καὶ τὴν αὐτῶν ἀσέβειαν, ἐλέγξας διατόρως τε· ὅθεν τὴν θείαν μνήμην σου Παντελεῆμον γεραίρομεν. Θεοτοκίον

Ἡ μόνη τεκοῦσα Θεὸν λόγον, τὸν σώσαντα τὸν κόσμον ἐκ φθορᾶς, τοῦτον δυσώπει ἄχραντε, μετὰ τοῦ σοῦ θεράποντος, στεῤῥοῦ Παντελεήμονος σῶσαι ἡμᾶς τοὺς τιμῶντάς σε.

Καταβασία Τοὺς σοὺς ὑμνολόγους. Κάθισμα, ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Ἐλατὴρ τῶν δαιμόνων ἀναδειχθείς, καὶ φωστὴρ τῶν ἐν σκότει ἀποφανθείς, ἔδειξας τὸν Ἥλιον, ἐκ Παρθένου ἐκλάμψαντα, καὶ ναοὺς εἰδώλων, συντρίψας ἀνήγειρας, Ἐκκλησίας μάκαρ, εἰς δόξαν Θεοῦ ἡμῶν, ὅθεν σε τιμῶμεν, καὶ τὴν θείαν σου μνήμην, λαμπρῶς ἑορτάζομεν, καὶ συμφώνως βοῶμέν σοι, Ἀπόστολε Φίλιππε, πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου. Ἕτερον ὅμοιον

Ὀμβροφόρος νεφέλη πνευματική, ἀληθῶς ἀνεδείχθης τοῖς ἐπὶ γῆς, ποτίζων τὴν ἄρουραν, μυστικῶς τῆς καρδίας ἡμῶν· διαδραμὼν γὰρ τῷ λόγῳ, ποτίζεις τὰ πέρατα, καὶ ὑετοὺς προχέεις, τὰ μύρα τῇ λάρνακι· ὅθεν διαπνεύσας, ταῖς ἀπίστοις καρδίαις, ὀσμὴν τὴν τοῦ πνεύματος, ἐν αὐτοῖς ἐθησαύρισας, Ἀπόστολε Φίλιππε· πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου. Ἕτερον ὅμοιον ἁγ. Κωνσταντ.

Ἡ σορὸς Κωνσταντῖνε τῶν σῶν ὀστῶν, ἰατρεῖον ὑπάρχει πνευματικόν, ῥοῶν ὁ παράδεισος, σμύρνα, κρόκος καὶ κάλαμος, τῶν πρώτων μύρων κρήνη στακτὴ καὶ κιννάμωμος, φιάλη ἀρωμάτων καὶ πάντα ἀκρόδρυα,



κύπρος μετὰ νάρδων, καὶ καρύας ὁ κῆπος· τὸ φρέαρ ζῶντος ὕδατος, ἐκ λιβάνου προῤῥέοντος. Διὰ τοῦτο βοῶμέν σοι, χάρισαι ἡμῖν τοῦ Χριστοῦ, Νεομάρτυς τούτων τὰς ποιότητας, τοῖς μετὰ πόθου τελοῦσι τὴν πάνσεπτον μνήμην σου. Δόξα ἦχ. δ΄. Ὁ ὑψωθείς.

Σταυροῦ τὴν δύναμιν, ἀήττητε ἔχων, ψυχῶν σωμάτων ἰατρὸς ἀνεδείχθης, καὶ τῶν μαρτύρων εὔκλειαν πλουτήσας σοφέ, χαίρων μετέβηκας, πρὸς μονὰς αἰωνίους· ὅθεν τὴν ἁγίαν σου ἑορτάζομεν μνήμην, Παντελεῆμον νέε ἀθλητά· σαῖς ἱκεσίαις ἡμᾶς διαφύλαττε.

Καὶ νῦν. Οὐ σιωπήσωμεν ποτέ. Ὠδὴ δ΄. Ὁ εἱρμός.

Εἰσακήκοα Κύριε, τῆς Οἰκονομίας σου τὸ Μυστήριον κατενόησα τὰ ἔργα σου καὶ ἐδόξασά σου τὴν Θεότητα.

Τοῦ Ἀποστόλου. Χριστός μου Δύναμις.

Ἡλίου σκήνωμα, Χριστοῦ τοῦ ὄντος φωτός, καὶ ναὸς ἀνεδείχθης χωρητικός, τούτου τῆς λαμπρότητος, καὶ Οὐρανὸς δόξαν Θεοῦ τοῖς ἀνθρώποις διηγούμενος.

Φθαρεῖσαν πάθεσι τὴν ἀνθρωπότητα, ἐμβληθεὶς θεῖον ἅλας παρὰ Χριστοῦ ταύτην ἐνεξήρανας τὴν σηπεδόνα τὴν δεινήν, θεοφάντορ ἀξιάγαστε.

Ἰσχύϊ Φίλιππε, Χριστοῦ ῥωννύμενος, τῶν δαιμόνων τὸ στῖφος καὶ δυσσεβῶν, ὤφθης δυνατώτερος, τοῖς ἐπὶ γῆς ἀναβοῶν, ζωῆς θείας εὐαγγέλια. Θεοτοκίον

Λιμένα εὔδιον, Χριστὸς ἀνέδειξε, τοῖς ἐν πίστει καὶ πόθῳ σε ἀληθεῖ, Δέσποινα Πανάμωμε, ἐκ διανοίας καθαρᾶς, Θεοτόκον καταγγέλλουσιν·

Ἄλλος τοῦ ἁγίου Κωνσταντίνου. Ὁ καθήμενος ἐν δόξῃ.

Ἡ ὀσμὴ τῶν σῶν λειψάνων, ὀσμὴ πέλει οὐράνιος, ὀσμὴ γλυκυτάτη Κωνσταντῖνε Μάρτυς ἀήττητε, εὐωδιάζουσα, πάντας τοὺς προστρέχοντας μετὰ πίστεως, καὶ προσκυνοῦντας τὴν λάρνακα.

Τί βραδύνετε, διῶκται, καὶ οὐ θανάτῳ μὲ λύετε, τοῦ σαρκίου τούτου, Μάρτυς Κωνσταντῖνε ἐκραύγαζες, ἵνα ταχέως ἀπέλθω πρὸς τὸν πλάστην μου, ὅς τις μένει με, ἵνα δοξάσῃ αἰώνια.

Ἤγειρε πιστῶν καρδίας ἡ γενναία σου Ἄθλησις, ταῦτα ἀνακράζειν· δόξα σοι Θεὲ πάντων δόξα σοι, ὅτι καὶ νῦν Κωνσταντῖνον Νεομάρτυρα ἀνδρειότατον τῇ σῇ δυνάμει ἀνέδειξας. Θεοτοκίον

Ὦτα θεῖά σου Παρθένε, τῆς φωνῆς ἣν ἀκούοντα, πάντοτε προθύμως, τοῦ ἀδελφιδοῦς σου ὡς γέγραπται· ὅτι φωνὴ ἦν ἡδεῖα τούτου Πάναγνε, καταθέλγουσα ψυχὴν ὁμοῦ καὶ καρδίαν σου.

Ἄλλος τοῦ Ἁγίου Παντελεήμονος. Τὴν ἀνεξιχνίαστον.

Μνήμη σου ἡ εὔσημος πάντας ἡμᾶς, μάρτυς συνεκάλεσε σήμερον, τοῦ εὐφημῆσαι, τοὺς ἀγῶνας τοὺς σεπτούς, καὶ τὰς ἀνδραγαθίας, οὓς ὑπὲρ τῆς πίστεως ἤνυσας.

Ὄντως τῆς Τριάδος πιστὸς γεωργός, μάρτυς ἐχρημάτισας ἄριστος, καὶ γὰρ προθύμως, σὴν ψυχὴν ὑπὲρ αὐτῆς Παντελεῆμον ἔθυσας, καὶ πολύχουν στάχυν ἐθέρισας.

Νέμουσιν ἰάματα τὰ σὰ ὀστᾶ, ὦ Παντελεῆμον ἑκάστοτε, τοῖς προσιοῦσι καὶ σοβοῦσι μολυσμούς, ψυχῆς ὁμοῦ καὶ σώματος, ὅθεν σοῦ τὴν μνήμην γεραίρομεν.

Ἄνω ὑπερύψωσας πάντα τὸν νοῦν, σὺ Παντελεῆμον πανθαύμαστε, διὸ οὐδέν σε τῆς ἀγάπης τοῦ Χριστοῦ, τῆς θείας ἀπεχώρισεν, οὐ πληγαί, οὐκ ἄλλη τις βάσανος. Θεοτοκίον.

Τὴν ἀειμακάριστον καὶ ἀληθῆ, πάντες Θεοτόκον δοξάζομεν, ἣν ἐν σταδίῳ, ὁ γενναῖος ἀθλητής, Παντελεήμων λόγοις τε καὶ στερροῖς ἀγῶσιν ἐκήρυξεν. Ὠδὴ ε'. Ὁ Εἱρμός

Ἵνα τί με ἀπώσω, ἀπὸ τοῦ προσώπου σου, τὸ φῶς τὸ ἄδυτον, καὶ ἐκάλυψέ με τὸ ἀλλότριον σκότος τὸ δείλαιον; Ἀλλ' ἐπίστρεψόν με, καὶ πρὸς τὸ φῶς τῶν ἐντολῶν σου, τὰς ὁδούς μου κατεύθυνον δέομαι.

Τοῦ Ἀποστόλου. Τῷ θείῳ φέγγει σου Ἀγαθέ.

Τὸν ψυχόλεθρον τοῦ ἐχθροῦ, ταῖς ἀλεξικάκοις σου, Θεορρήμων παλάμαις ἐξήρανας, τοὺς θανατηφόρῳ κεκρατημένους θυμῷ, χαλεπῆς ἀλγηδόνος ἀναρρυόμενος.

Πυρίπνους ὅλος ἀναδειχθείς, τῇ τοῦ Παρακλήτου ἐπιδημίᾳ, καὶ χάριτι Φίλιππε, τοὺς ἀποψυγέντας, ἐν ἀθεΐας κρυμῷ, τῇ τῆς πίστεως θέρμῃ ἐζωοποίησας.

Πλησίον γέγονας τοῦ Χριστοῦ, τὰς διδομένας σοι, λαμπηδόνας ἀμέσως δεχόμενος, καὶ διαβιβάζων τοῖς σοὶ προστρέχουσι, φωτίζων καὶ προσάγων, τούτους τῷ Κτίστει σου. Θιοτοκίον.

Ὁ Λόγῳ πάντας δημιουργῶν, καὶ σοφῇ προνοίᾳ κυβερνῶν, μόνος ὡς βούλεται Κύριος, ὑπὲρ εὐσπλαγχνίαν δημιουργεῖται ἐκ σοῦ, καὶ σὰρξ ἀνερμηνεύτως, Παρθένε γίνεται. Τοῦ ἁγ. Κωνς. Ἐξέστη τὰ σύμπαντα.

Ὑπέρτερος γέγονας, πληγῶν τῶν ἐν τῷ σώματι, σὺ μάρτυς γενναῖε Κωνσταντῖνε· ἐν τῇ ἀθλήσει σου γὰρ ὁ Κύριος, φανεὶς παραδόξως ἀθλητά, ἅπαντα τὰ στίγματα τῆς σαρκός σου ἰάτρευσε.

Μακάριος γέγονας, καὶ μακαρίοις ἥνωσαι. μακάριε μάρτυς Κωνσταντῖνε· Σὺ γὰρ τὸν μόνον ὄντα μακάριον, φύσει ἀνεκήρυξας Χριστόν, ἀσεβῶν ἐνώπιον, Θεὸν ἅμα καὶ ἄνθρωπον.

Νομίμως παράδειγμα, πολύαθλε γεγένησαι, καὶ ὁλοκαρδίου μετανοίας, ἀρνησιχρίστοις πᾶσιν ὁ βίος σου· ὅπου γὰρ ἠρνήσω τὸν Χριστόν, ἐκεῖ πάλιν ἅγιε, ἀνδρικῶς ὡμολόγησας. Θεοτοκίον.

Μυκτήρ σου πανάμωμε, πύργος λιβάνου γέγονε, Δαμασκοῦ τὸ πρόσωπον σκοπεύων, τῆς ἐναντίας δυνάμεως· καὶ ὀσμὴ ῥινός σου ἀληθῶς, κόσμον εὐώδιασεν, ὥσπερ μῆλον πανεύοσμον.



Ἄλλος τοῦ ἁγ. Παντελεήμονος. Ἐξέστη τὰ σύμπαντα.

Ὁ οἶκός σου ἔνδοξε, πηγὴ θαυμάτων δείκνυται, πᾶσι τοῖς προστρέχουσιν ἐν πίστει, καὶ προσκαλοῦσι τὴν σὴν ἀντίληψιν, ὦ Παντελεῆμον ἀθλητά· νόσους ἐκδιώκει γάρ, καὶ ὑγείαν χαρίζεται.

Νικήσας τοὺς ἄφρονας, ἐν στάσει τῇ γενναίᾳ σου, μάρτυς ἐν σταδίῳ τὸν Σωτῆρα, στερρῶς κηρύξας καὶ πρὸς εὐσέβειαν, πολλοὺς ἐστερέωσας σοφὲ ὅθεν ἐκτελοῦμέν σου, τὴν σεπτὴν μνήμην σήμερον.

Πολλοὺς ἐθεράπευσας, προσκλήσει τοῦ ὀνόματος, μάρτυς τοῦ Σωτῆρος καὶ προσῆξας, τούτους τρισμάκαρ καλῶς πιστεύσαντας, ὅθεν τὴν σεπτήν σου ἑορτὴν πόθῳ ἑορτάζομεν, καὶ πιστῶς σε γεραίρομεν.

Θεοτοκίον.

Ἀσπόρως συνέλαβες, ἀφθόρως ἀπεκύησας, Παρθένε, καὶ πάλιν μετὰ τόκον, παρθένος σῶα διαμεμένηκας, ὢ τῶν τεραστίων τῶν καινῶν, ποῖος νοῦς Ἀγγέλων τε καὶ βροτῶν οὐκ ἐξίσταται;

Καταβασία. Ἐξέστη τὰ σύμπαντα. Ὠδὴ ς'. Ὁ Εἱρμός.

Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον, καὶ αὐτῷ ἀπαγγελῶ μου τὰς θλίψεις, ὅτι κακῶν ἡ ζωή μου ἐπλήσθη, καὶ ἡ ψυχή μου τῷ ᾅδῃ προσήγγισε, καὶ δέομαι ὡς Ἰωνᾶς, ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

Τοῦ Ἀποστόλου. Συνεσχέθη, ἀλλ' οὐ κατεσχέθη.

Νεμομένην καὶ λυμαινομένην, βλέπων τὴν πλάνην τοῦ ἐχθροῦ, τὸ τῶν ἀνθρώπων γένος, τὰ σὰ βέλη τὰ ἠκονημένα, τοὺς Ἀποστόλους τείνας ἐξαπέστειλας, καὶ διήνοιξας θώρακος πτῆξιν, Χριστὲ τοῦ δράκοντος, ἅπαντας τῆς αὐτοῦ, λύμης καὶ φθορᾶς Σῶτερ ἰώμενος.

Ὑπερτέρῳ, φέγγει καταλάμπων, ὤφθης καθάπερ ἀστραπή, τῇ Οἰκουμένῃ φαίνων, καὶ ὡς ὄρος γλυκασμὸν σταλάζον, ὡς Θεοῦ δρόσος, οὐρανόθεν πίπτουσα, ὡς Ἀπόστολος ἐκλελεγμένος, τὴν δωδεκάριθμον φάλαγγα συμπληρῶν, τὴν τῶν Μαθητῶν Χριστοῦ πανόλβιε.

Μυηθείς σου, τὸ τοῦ Μυστηρίου, βάθος ὁ θεῖος Μαθητής, ὡς ποταμὸν εἰρήνης, ἐπικλύζοντα τρυφῆς χειμάρρουν, ὡς ἐπικλύζον, κῦμα δόξαν ἔθνεσι, σὲ ἐκήρυξε μεγαλοφώνως, καὶ τὴν σὴν ἔνδοξον κένωσιν Ἀγαθέ, τὴν ὑπὲρ ἡμῶν εὐηγγελίσατο. Θεοτοκίον.

Νεκρουμένους, καὶ λυμαινομένους, πάντας θανάτῳ τοὺς βροτούς, σὲ τὸν Χριστὸν τεκοῦσα, τὴν ἀκήρατον ἀθανασίαν, ἀνεκαλέσω πρὸς ζωὴν αἰώνιον, καὶ ἐφώτισας ἐσκοτισμένους, καὶ ἠλευθέρωσας λύσασα τὰ δεσμά, τῆς ἀπαγωγῆς ἡμῶν Πανύμνητε.

Ἄλλος, τοῦ ἁγ. Κωνσταντίνου. Τὴν θείαν ταύτην καὶ πάντιμον.

Ὀνύχων πάντων ἀφαίρεσιν, ποδῶν σου ὑπομείναντι Ἅγιε, ὁ πάντων Κύριος, ἐν φυλακῇ σοι ὀπτάνεται, καὶ τούτους παραδόξως ἀρτίους δείκνυσι.

Νοῆσαι νοῦς οὐδὲ δύναται, καὶ γλῶσσα ἐξειπεῖν ἣν ἀπείληφας, δόξαν ἀοίδιμε, συγκληρονόμος γὰρ γέγονας Χριστοῦ, καὶ κληρονόμος Θεοῦ ὡς γέγραπται.

Ἐγένου Μάρτυς μὲν ὕστερος τοῖς χρόνοις Κωνσταντῖνε ἀοίδιμε, τοῖς δὲ παλαίσμασι, καὶ θαυμασίοις οὐχ ὕστερος, ἀλλὰ τοῖς πάλαι Μάρτυσιν ἰσοστάσιος. Θεοτοκίον.

Ὡς ῥοιᾶς λέπυρον μῆλόν σου, ὡς μέλι δὲ καὶ γάλα ἡ γλῶσσά σου· καὶ ὥσπερ κόκκινον, σπαρτίον χείλη σου γέγονε, καὶ λαλιά σου Κόρη ὡραία πέφυκεν. Ἄλλος. Τοῦ ἁγ. Παντελεήμ. Τὴν θείαν ταύτην.

Νοί σου μάρτυς πανένδοξε, ἐν πόλῳ συνευφραίνονται τάγματα θείων δυνάμεων· ἡμεῖς σαρκὸς δὲ οἱ δέσμιοι, ἐν γῇ ὀστᾶ σου ἔχοντες ἀγαλλόμεθα.

Ἁγίου Πνεύματος γέγονας, τερπνὸν κατοικητήριον ἅγιε, ψυχῇ καὶ σώματι, καὶ δυσωδίαν διώκεις νῦν, παθῶν Παντελεῆμον τῶν προσιόντων σοι.

Γέρα τῶν πόνων σου εἴληφας, σοφὲ Παντελεῆμον πανένδοξε πρὸς τοῦ Δεσπότου σου καὶ πᾶσι νέμεις ἰάματα, τοῖς πόθῳ ἐκτελοῦσι τὴν μνήμην σου. Θεοτοκίον.

Ἡ μόνη πάντων βοήθεια, βοήθησον ἡμῖν κινδυνεύουσι, καὶ χεῖρα ὄρεξον, καὶ πρὸς λιμένα κατεύθυνον, τῆς σωτηρίας κόρη Θεοχαρίτωτε.

Καταβασία. Τὴν θείαν ταύτην καὶ πάντιμον.

Κοντάκιον, ἦχος, πλ. δ'. Ὡς ἀπαρχὰς τῆς φύσεως.

Ὁ Μαθητὴς καὶ φίλος σου, καὶ μιμητὴς τοῦ πάθους σου, τῇ Οἰκουμένῃ Θεόν σε ἐκήρυξεν, ὁ θεηγόρας Φίλιππος, ταῖς αὐτοῦ ἱκεσίαις, ἐξ ἐχθρῶν παρανόμων, τὴν Ἐκκλησίαν σου διὰ τῆς Θεοτόκου συντήρησον πολυέλεε. Ὁ Οἶκος.

Ῥεῖθρα λόγου παράσχου μοι Κύριε, ὁ ὑδάτων τὴν φύσιν δειμάμενος, τὴν καρδίαν μου στήριξον Δέσποτα, ὁ τὴν γῆν στερεώσας τῷ λόγῳ σου, καὶ φώτισόν μου τὴν διάνοιαν, ὁ τὸ φῶς ὡς χιτῶνα ἀναβαλλόμενος, ἵνα λέγω καὶ ψάλλω τὰ τέρποντα, καὶ ἀξίως ὑμνήσω, τὸν σὸν Μαθητὴν πολυέλεε.

Ἕτερον Κοντάκιον τοῦ ἁγ. Κωνστ. Ἦχ. δ'. Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τοῦ Μαρτυρίου λαβὼν βάπτισμα Μάρτυς, ὅπερ δευτέροις οὐ μολύνεται ῥύποις, πρὸς τὸν Χριστὸν ἀνέδραμες τὸν σοὶ ποθητόν, ὅλος ἡλιόμορφος, ὅλος ἠγλαϊσμένος παρ' αὐτοῦ, ληψόμενος τοὺς τῆς νίκης στεφάνους· ὃν ἐκδυσώπει νῦν ὑπὲρ ἡμῶν τῶν ἐκτελούντων τὴν μνήμην σου Ἔνδοξε.

Ὁ Οἶκος.

Ὁ ἐτάζων καρδίας καὶ νεφρούς, καὶ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν Κύριος, προγινώσκων τὴν πρὸς αὐτὸν εὐθεῖαν διάθεσιν τῆς καρδίας σου, Νεομάρτυς Κωνσταντῖνε, καὶ τὸν πρὸς τὴν εὐσέβειαν διάπυρον ζῆ-



λον, καὶ ἔρωτα, εἰ καὶ πρὸς καιρὸν παρεχώρησε πεσεῖν σε εἰς τὸ μέγα τῆς ἀρνήσεως πτῶμα, ὡς καὶ Πέτρον τὸν κορυφαῖον Ἀπόστολον, καὶ Ἰάκωβον τὸν Πέρσην, καὶ Μείρακα καὶ Παγχάριον, ἀλλ' οὖν διὰ τῆς αὐτοῦ χάριτος, ὥσπερ ἐκείνους, οὕτω καὶ σὲ ταχέως πάλιν ἐκ τοῦ πτώματος ἤγειρε, καὶ ἐνοπλίσας τῇ οἰκείᾳ δυνάμει, ἐνώπιον τῶν ἀσεβούντων ὁμολογῆσαι αὐτὸν σὲ ἐνίσχυσε, καὶ στεφάνοις δόξης ὡς αὐτοῦ Νεομάρτυρα ἐστεφάνωσε. Διὰ τοῦτο καὶ ἡμεῖς ἐν συνελθόντες μετὰ εγκωμίων τελοῦμεν τὴν μνήμην σου Ἔνδοξε.

Ἕτερον ὅμοιον τοῦ ἁγ. Παντελεήμονος. Ἦχος δ'. Ὁ ὑψωθείς.

Καταβαλὼν τῶν ἀσεβῶν τὰς ἐπάρσεις, Παντελεῆμον ἀθλητὰ τοῦ Δεσπότου, νικητικὸν βραβεῖον ἐναπείληφας, ἄξιον τῶν πόνων σου, ὡς γενναῖος ὁπλίτης· ὅθεν ἐκτελοῦμέν σου τὴν πανέορτον μνήμην, ἐν ᾗ δυσώπει σώζεσθαι ἡμᾶς, ὡς παρρησίαν ἔχων πρὸς Κύριον. Ὁ Οἶκος.

